τὰ περίβολα, οὐδὲ ἀργύριον, οὐδὲ ἄλλο οὐδὲν, ὅτῳ τις μὴ ἐπίσταιτο χρῆσθαι. εἰσὶ μὲν οὖν αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων. ἐμὲ δὲ πῶς τινὶ τούτων οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν οὐδὲν πώποτ' ἐγένετο τούτων;

ιβ'. Ἀλλ' ἐδόκει ἡμῖν, καὶ εἰ μὴ χρήματά τις τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας. τί οὖν κωλύει καὶ σε ἐπίστασθαι; ὅπερ νὴ Δία καὶ αὐλεῖν ἂν κωλύσειεν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς πώποτε κτήσαιτο αὐλοὺς, μήτε ἄλλος αὐτῷ παράσχοι ἐν τοῖς αὐτοῦ μανθάνειν. οὕτω δὴ καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκονομίας.

ιγ'. Οὔτε γὰρ αὐτὸς ὄργανα χρήματα ἐκεκτήμην, ὥστε μανθάνειν, οὔτε ἄλλος πώποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν· ἀλλ' ἢ σὺ νῦν ἐθέλειν παρέχειν. οἱ δὲ δήπου τὸ πρῶτον μανθάνοντες κιθαρίζειν, καὶ τὰς λύρας λυμαίνονται. καὶ ἐγὼ δὴ, εἰ ἐν τῷ σῷ οἴκῳ ἐπιχειρήσαιμι μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην ἄν σου τὸν οἶκον.

ιδ'. Πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε· προθύμως γε, ὦ Σώκρατες, ἀποφεύγειν μοι πειρᾷ μηδέν με συνωφελῆσαι εἰς τὸ ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα πράγματα· οὐ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε, ἀλλ' ὅσα ἔχω, καὶ πάνυ προθύμως ἐξηγήσομαί σοι.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id414709993/44 gefördert von der Deutschen Forschungsgemeinschaft DFG